14 ὁ δὲ στέφανος ἔσται τοῖς ὑπομένουσιν καὶ τοῖς χρησίμοις αὐτῆς 14
καὶ τοῖς ἐπεγνωκόσιν αὐτὴν καὶ εἰς χάριτα υἱοῦ Σοφονιου καὶ εἰς
ψαλμὸν ἐν οἴκῳ κυρίου. 15 καὶ οἱ μακρὰν ἀπ᾽ αὐτῶν ἥξουσιν καὶ 15
οἰκοδομήσουσιν ἐν τῷ οἴκῳ κυρίου, καὶ γνώσεσθε διότι κύριος
παντοκράτωρ ἀπέσταλκέν με πρὸς ὑμᾶς· καὶ ἔσται, ἐὰν εἰσακού-
οντες εἰσακούσητε τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν.
1 Καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως 7
ἐγένετο λόγος κυρίου πρὸς Ζαχαριαν τετράδι τοῦ μηνὸς τοῦ ἐνά-
του, ὅς ἐστιν Χασελευ, 2 καὶ ἐξαπέστειλεν εἰς Βαιθηλ Σαρασαρ καὶ 2
Αρβεσεερ ὁ βασιλεὺς καὶ οἱ ἄνδρες αὐτοῦ τοῦ ἐξιλάσασθαι τὸν
κύριον 3 λέγων πρὸς τοὺς ἱερεῖς τοὺς ἐν τῷ οἴκῳ κυρίου παντο- 3
κράτορος καὶ πρὸς τοὺς προφήτας λέγων Εἰσελήλυθεν ὧδε ἐν τῷ
μηνὶ τῷ πέμπτῳ τὸ ἁγίασμα, καθότι ἐποίησα ἤδη ἱκανὰ ἔτη. 4 καὶ 4
ἐγένετο λόγος κυρίου τῶν δυνάμεων πρός με λέγων 5 Εἰπὸν πρὸς 5
ἅπαντα τὸν λαὸν τῆς γῆς καὶ πρὸς τοὺς ἱερεῖς λέγων Ἐὰν νη-
στεύσητε ἢ κόψησθε ἐν ταῖς πέμπταις ἢ ἐν ταῖς ἑβδόμαις, καὶ
ἰδοὺ ἑβδομήκοντα ἔτη μὴ νηστείαν νενηστεύκατέ μοι; 6 καὶ ἐὰν 6
φάγητε ἢ πίητε, οὐχ ὑμεῖς ἔσθετε καὶ ὑμεῖς πίνετε; 7 οὐχ οὗτοι 7
οἱ λόγοι εἰσίν, οὓς ἐλάλησεν κύριος ἐν χερσὶν τῶν προφητῶν τῶν
ἔμπροσθεν, ὅτε ἦν Ιερουσαλημ κατοικουμένη καὶ εὐθηνοῦσα καὶ αἱ
πόλεις αὐτῆς κυκλόθεν καὶ ἡ ὀρεινὴ καὶ ἡ πεδινὴ κατῳκεῖτο; 8 καὶ 8
ἐγένετο λόγος κυρίου πρὸς Ζαχαριαν λέγων 9 Τάδε λέγει κύριος 9
παντοκράτωρ Κρίμα δίκαιον κρίνατε καὶ ἔλεος καὶ οἰκτιρμὸν ποιεῖτε
ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ 10 καὶ χήραν καὶ ὀρφανὸν καὶ 10
προσήλυτον καὶ πένητα μὴ καταδυναστεύετε, καὶ κακίαν ἕκαστος
τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακείτω ἐν ταῖς καρδίαις ὑμῶν. 11 καὶ 11
ἠπείθησαν τοῦ προσέχειν καὶ ἔδωκαν νῶτον παραφρονοῦντα καὶ
τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ εἰσακούειν 12 καὶ τὴν καρδίαν αὐ- 12
τῶν ἔταξαν ἀπειθῆ τοῦ μὴ εἰσακούειν τοῦ νόμου μου καὶ τοὺς
λόγους, οὓς ἐξαπέστειλεν κύριος παντοκράτωρ ἐν πνεύματι αὐτοῦ
ἐν χερσὶν τῶν προφητῶν τῶν ἔμπροσθεν· καὶ ἐγένετο ὀργὴ μεγάλη
παρὰ κυρίου παντοκράτορος. 13 καὶ ἔσται ὃν τρόπον εἶπεν καὶ οὐκ 13
εἰσήκουσαν αὐτοῦ, οὕτως κεκράξονται καὶ οὐ μὴ εἰσακούσω, λέγει

14 υπομεν.] + αυτον A† | υιου] τοις υιοις AQ || 15 γνωσεσθε] pr. επι AQ | διοτι] οτι WL | εισακουοντες] -ουσαν- S^c W† et V†(om. εισ) | υμων] ημ. S*
7 1 τετραδι] τη τετρ. και εικαδι A(†) || 2 εξαπεστ.] εξ > S^c LC | αρβεσεερ] -σεσερ A†, -σεερε W†, -σερ S^c† | του AQS^c W] > BS*LC || 3 εισεληλ.] pr. ει A | εν τω μ. τω πεμπτω / το αγιασμα] tr. AV†, πεμπτω μηνι pro μ. τω πεμπτω VL | εποιησα L] -σεν BS, -σαν AQW || 5 (α)παντα > W || 6 η] και A, και εαν Q† | υμεις ult. > BS || 7 οτε] οτι S*† | αυτης] -των A† | κυκλοθεν] + αυτης V† || 9 κρινεται S*† = κρινετε C | ελεον S^c LC || 12 την καρδιαν] τας -διας S*† | εισακουειν] -κουσαι A | οργη] ορμη A† || 13 αυτου > B† | εισακουσω] + αυτων AQ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/555 UNIVERSITÄT LEIPZIG